**c. 21.** [d] Θάνατος καὶ φυγὴ [e] καὶ πάντα τὰ δεινὰ φαινόμενα [f] πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν, μάλιστα δὲ πάντων ὁ θάνατος· [g] καὶ οὐδὲν οὐδέποτε οὔτε ταπεινὸν ἐνθυμηθήσῃ [h] οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

**c. 22.** [i] Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν ὡς καταγελασθησόμενος, [k] ὡς καταμωκησομένων σου πολλῶν, [l] ὡς ἐρούντων ὅτι 'ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε' [m] καὶ 'πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς;' [n] σὺ δὲ ὀφρὺν μὲν μὴ σχῇς· [n'] τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, [o] ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν· [p] μέμνησό τε διότι, ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, [q] οἱ καταγελῶντές σου τὸ πρότερον οὗτοί σε ὕστερον θαυμάσονται, [r] ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

**c. 23.** Ἐάν ποτέ σοι γένηται ἔξω στραφῆναι πρὸς τὸ βούλεσθαι ἀρέσαι τινί, ἴσθι ὅτι ἀπώλεσας τὴν ἔν-

---

**c. 21.** [de, fg] cf. I, 4, 24; IV, 10, 31 — [gh] I, 3, 1
**c. 22.** [ik] III, 15, 10 sq. — [lm] I, 18, 10 — [mn] II, 8, 24 — [n'o] cf. II, 69; Plat. Crito 46b — [op] I, 9, 24 — [qr] cf. II, 22, 8

---

**c. 21.** *Flor. Democr.-Epict. ecl. 185 (ed. Wachsm.); Georgid. p. 43, 6 (ed. Boisson.)* ‖ 1 Θάνατος ⟨δὲ⟩ *A* ‖ φυγὴ] φθορὰ *flor., Georg.* (δίωξις *Par.*) ‖ πάντα ⟨τὰ ἄλλα⟩ *A*; πάντα ⟨ἄλλα⟩ *flor. cod. Mon. (Nil.)* ‖ φαινόμενα *om. flor., Georg.* ‖ 2 πρὸ ὀφθαλμῶν *om. Georg.* ‖ μάλιστα — (3) θάνατος *om. flor., Georg. (Par.)* ‖ 3 οὐδὲν *om. flor. cod. Mon.* ‖ οὐδέποτε — (4) οὔτε *(ante* ἄγαν) *om. Georg.* ‖ οὔτε *(ante* ταπεινὸν) *om. B et C nonn. (Par.), Antonii Mel. I, 14, qui e flor. hausit* ‖ ταπεινὸν *om. flor. (cuius cod. Pal. post* ἐνθυμηθήσῃ *ins.* κακὸν) ἐνθυμήσῃ *A un. (V; Par.; Nili ed. Rom.); flor. cod. Mon.* ‖ 4 τινός *om. Floril, Georg.*

**c. 22.** 2 σου *om. A un. (Nil. praeter cod. Hafn.)* ‖ 4 σχῇς] ἔχε *C un. (Nil., Par.)* ‖ 7 τε διότι *Nil.*: δὲ ὅτι *Ench.* ἐμμένοις *C un.* (ἐμμένῃς *Nil.*) ‖ 8 τὸ *om. B et C nonn., A un. (Nil.)* ‖ θαυμάσονται *C un. (fortasse A un. quoque, sed sibi ipsi obloquitur Schw.; V; Nil., Par.)*: θαυμάσουσιν *cett.*

**c. 23.** 1 Ἂν *A et CD sing.* ‖ 2 βουλεύσασθαι *B et D un.*; βουληθῆναι *v* ‖ τὴν ἔνστασιν ἀπώλεσας *A et CD sing.* (ἔνταξιν *A nonn.*; ἔντευξιν *D un.*)



στασιν. [s] ἀρκοῦ οὖν ἐν παντὶ τῷ εἶναι φιλόσοφος εἰ δὲ καὶ δοκεῖν βούλει [τῷ εἶναι], σαυτῷ φαίνου καὶ ἱκανὸς ἔσῃ.[t]

**c. 24.** Οὗτοί [u] σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν [v] 'ἄτι- 1
μος ἐγὼ βιώσομαι καὶ οὐδεὶς οὐδαμοῦ'. εἰ γὰρ ἡ ἀτι-
μία ἐστὶ κακόν, [w] οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, [x] οὐ
μᾶλλον ἢ ἐν αἰσχρῷ· [y] μή τι οὖν σόν ἐστιν ἔργον τὸ ἀρχῆς
τυχεῖν ἢ παραληφθῆναι ἐφ' ἑστίασιν; οὐδαμῶς. [z] πῶς οὖν ἔτι
τοῦτ' ἔστιν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν
μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοί, ἐν οἷς [a] ἔξεστί σοι
εἶναι πλείστου ἀξίῳ; [b] ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι 2
ἔσονται. τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρὰ σοῦ
κερμάτιον· οὐδὲ πολίτας Ῥωμαίων αὐτοὺς ποιήσεις·
τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ
δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ, ἃ μὴ
ἔχει αὐτός; 'κτῆσαι οὖν', φησίν, 'ἵνα ἡμεῖς ἔχω-
μεν'. εἰ δύναμαι κτήσασθαι τηρῶν ἐμαυτὸν αἰδή- 3
μονα καὶ πιστὸν καὶ μεγαλόφρονα, δείκνυε τὴν ὁδὸν
καὶ κτήσομαι. εἰ δ' ἐμὲ ἀξιοῦτε τὰ ἀγαθὰ τὰ ἐμαυ-
τοῦ ἀπολέσαι, ἵνα ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε,

---

**c. 23.** [st] IV, 8, 17,23
**c. 24, s. 1.** [uv] cf. IV, 2, 4 — [wx] cf. I, 28, 23; I, 9, 34 — [yz] cf. II, 6, 8 — [ab] cf. III, 25, 3

---

3 τῷ] τὸ *B un. (Nil.)* ‖ καὶ *om. id. (ed. Hal.; Nil, Par.)* ‖ 4 τῷ (τῳ *Upt.*) εἶναι *Ench.*: *om. Par.*; εἶναι *C un.* (τὸ εἶναι *Nil.* | ἱκανόν ἐστι τοῦτό γέ σοι *C un. (item Par, om.* γέ σοι; *Nil. et Simpl., om.* τοῦτό γέ σοι)

**c. 24, s. 1.** 2 ἐγὼ βιώσομαι] ἔσομαι *A et D un.* (βιώσομαι *Simpl.*); ἐγὼ διαβιώσομαι *C un. (Nil.,* ἐγὼ *om. cod. Hafn.; Par.)* ‖ ἡ *om. B et C nonn. (v)* ‖ 3 κακόν, ⟨ὥσπερ ἐστίν⟩ *C nonn. et AD sing. (Nil.)* ‖ 4 οὖν σόν ἐστιν ἔργον] *in his verbis colloc. multum variant codd.* ‖ 5 ἔτι τοῦτ'] ἐπὶ τούτοις *C un. (Nil.;* ἐν *cod. Hafn.)*; τοῦτο *C rell.* ‖ 6 δὲ ⟨καὶ⟩ *C un (Nil., Par., Simpl.)* ‖ **s. 2.** 8 σοὶ] μου *coni. Schw.* ‖ 10 κερμάτιον *A un. (Nil.)*: ἀργύριον *cett.* (χρήματα *Par., Simpl.*) ‖ 12 δύναται δοῦναι (*om.* δὲ) *C un. (V; Par., in quibus exstat* δέ) ‖ 13 φασίν *C (ed. Hal., v; Nili ed. Rom.)*; φασὶν ⟨οἱ φίλοι⟩ *A un. (Simpl.)* ‖ **s. 3.** 14 ⟨ἀλλ'⟩ εἰ *A un. (Simpl.)* ‖ 15 δεικνύετε *C nonn. (ed. Hal., v)* ‖ 16 ἀξιοῦται *B* ‖ τὰ ἐμαυτοῦ — (17) ἀγαθὰ *om. B'*